Ἱμονιοστρόφου.] τοῦ χοινιοστρόφου μέλη. ἀεὶ εἰκὸς ἄνδρα ὕδατα ἀρυόμενον ᾄδειν. ἱμονιὰ γὰρ καλεῖται, τὸ τῶν ἀντλημάτων χοινίον, ἥτις ὡς ἐπιτοπλεῖστον ἐν τοῖς φρέασιν ἀπηώρηται. καὶ τὸ ᾆσμα ὃ ᾄδουσιν οἱ ἀντληταὶ, ἱμαῖον. Καλλίμαχος. ἀείδει καί που τὶς ἀνὴρ ὑδατηγὸς ἱμαῖον.

Bisetus. Ἱμονιοστρόφου] Σ. ἱμᾶν, καὶ ἱμεῖν, ἀντλεῖν, ἀνέλκειν, ἀνασπᾶν. ἱμονιὰ δὲ καλεῖται τὸ ἀντλητήριον τῶν φρεάτων, καὶ ἱμονιᾶν ἀποπατεῖν, ἀντὶ τοῦ μακρὰ χέζειν, ἀπὸ τοῦ χοινίου, δι' οὗ τὰ ὕδατα ἀρύονται. ὃ καλοῦσιν ἱμονίαν. ἱμαῖον δὲ τὸ τῶν ἀντλητῶν ᾆσμα.

Σχόλια. Ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν μετήνεγκα] ἐκ γὰρ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος, εἰς τὸ τραγῳδικὸν μετήνεγκα. ἵνα μὴ εἰς ταυτὰ τοῖς ὑπὸ Φρυνίχου μέλεσι προφσηγμένοις ἐμπίπτω. ἀποδέχονται δὲ πάντες τοῖς μέλεσι τὸν Φρύνιχον ἐπιτυγχάνοντα τοῖς κιθαρῳδικοῖς. Ηνεγκον.] διχῶς ἔλεγον. ἤνεγκον μὲν, ἀπὸ τοῦ ἐνέγκω. ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνείκω. Ινα μὴ τὸν αὐτὸν Φρυνίχῳ.] ἵνα μὴ τὰ αὐτὰ τῷ Φρυνίχῳ μελοποιῶ. ἦν δὲ ἄριστος ἐν τοῖς μέλεσι Φρύνιχος. ὁ δὲ λόγος, ἐκ τῶν κιθαρῳδικῶν εἰς τι τραγικὸν εἶδος μετήνεγκα. τοῦτο γὰρ καὶ Εὐριπίδης προσεῖπε.

Σκολιῶν Μελίτου καὶ Καρικῶν αὐλημάτων,
Θρηνῶν, χορείων. τάχα δὲ δηλωθήσεται.
Ενεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ
Λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
Αὕτη κροτοῦσα; δεῦρο Μοῦσ' Εὐριπίδου,
Πρὸς ἥνπερ ἐπιτήδεια ταῦτ' ᾄδειν μέλη.
Διόν. Αὕτη ποθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζεν, οὔ.

*Obliquos Meliti, Caricaeq́; tibiae*
*In funere & Choreis. Quod nunc illicò*
*Ei demonstrabitur. Lyram quis afferat.*
*Sed quid opus est Lyra ad hanc rem? vbi illa testulis*
*Crepitans? age huc ades dum Musa Euripidis:*
*Ad quam hi modi cantari sunt idonei.*
*BA. Haec certè Musa nunquam ante in Lesbe fuit.*

Σχόλια. Σκολιῶν] μελῶν τινῶν ἐν συμποσίοις γινομένων. σκολιὰ λέγονται, τὰ παροίνια ᾄσματα. Τιμοκρέων δὲ ὁ Ῥόδιος ἐποποιὸς τοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ Πλούτου οὗ ἡ ἀρχὴ,

Ὤφελες ὦ τυφλὲ Πλοῦτε
Μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ, μήτ' ἐν Ἠπείρῳ
Φανήμεναι.
Ἀλλὰ Τάρταρόν τε ναίειν, κ' Ἀχέροντα
Διὰ σὲ γὰρ πάντ' ἐν ἀνθρώποις κακά.

Τούτοις ἔοικε τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα. ἔγραψε γὰρ ψήφισμα τοιοῦτον ὁ Περικλῆς. Μεγαρέας μήτ' ἀγορᾶς, μήτε θαλάττης, μήτ' Ἠπείρου μετέχειν. ὅμοια τιθεὶς σκολιὰ τοῖς Τιμοκρέοντος. καὶ αὖθις, νόμους ἐτίθει, ὥσπερ σκολιὰ γεγραμμένους. ἄλλως. σκολιὸν ἡ παροίνιος ᾠδή. ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ Μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν. τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς. τὸ δὲ ὑπὸ τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει ὃ δὴ καλεῖται σκολιόν. ὡς δ' Ἀριστόξενος καὶ Φύλλις ὁ μουσικὸς ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες παρὰ μέρος ἑξῆς μυῤῥίνας ἔχοντες ᾖδον γνώμας. καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο διὰ τὴν θέσιν τῶν κλινῶν σκολιόν. ὑπόμνημα ἔγραψε Τυραννίων περὶ τοῦ σκολιοῦ μέτρου, ὃ προετέθη αὐτῷ ὑπὸ Γαΐου Καίσαρος. σκολιὸν τὸ ῥᾴδιον κατὰ ἀντίφρασιν, μέλος τὶ ὀλιγόστιχον. τὰ δὲ Καρικὰ αὐλήματα, καὶ μέλη θρηνώδη ἐστίν. ἢ Καρικῶν βαρβαρικῶν. δουλικῶν.

Bisetus. Σκολιῶν] σκόλια, μέλη τινὰ προσηγορικῶς οὕτω λεγόμενα. καὶ προπαροξύνεται τοὔνομα πρὸς διαστολὴν τοῦ ἐπιθέτου. οὕτω δὲ λέγεται διὰ τὸ μὴ κατ' εὐθὺ μέλπεσθαι, ἀλλὰ σκολιῶς. Εὐστάθιος.

Σχόλια. Μελίτου.] προείρηται ὅτι τραγικὸς ποιητὴς ὁ Μέλιτος. οὗτος δέ ἐστιν ὁ Σωκράτη γραψάμενος. κωμῳδεῖται δὲ καὶ ὡς ψυχρὸς ἐν τῇ ποιήσει. καὶ ὡς πονηρὸς τὸν τρόπον. χορείων δὲ μικροπρεπῶν καὶ οἷα ἐν τοῖς χοροῖς ᾄδουσι. λύριον δὲ τὴν μικρὰν λύραν ὥστε ψάλαι τὰ Εὐριπίδου. Η τοῖς ὀστράκοις.] ἀπορίᾳ λύρας ὄστρακα τινὲς λαμβάνοντες, ἦχον μὲν ἀπετέλουν, πάνυ δὲ ἄσημον. διαβάλλει δὲ Εὐριπίδην ὡς κακὸν μελοποιόν. ἄλλως. ὅτι φαίνονταί τινες ἀγοραῖοι κρούοντες τοῖς ὀστράκοις, καὶ προσᾴδοντες τῷ κρούματι τῷ διὰ τούτων. λέγεται δὲ εἰς τὴν Ὑψιπύλην ταῦτα. ἢ καθόλου τὴν μοῦσαν αὐτοῦ. ἐπιλέγει γὰρ, δεῦρο μοῦσα Εὐριπίδου. Δίδυμος δὲ προστίθησιν ὅτι εἰώθασιν ἀντὶ λύρας κογχύλια καὶ ὀστράκια κρούοντες, εὐρύθμως τινὰ ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις. Αὕτη ποθ' ἡ μοῦσα.] ἐν ἐρωτήσει λέγει. αὕτη οὐκ αἰσχροποιεῖ. καὶ ἐν Σφηξὶν ἐπὶ τῆς αὐλητρίδος. μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας. λεσβιάζειν δὲ τὸ παρανόμως πλησιάζειν καὶ μολύνειν τὸ στόμα. διεβάλλοντο γὰρ ἐπὶ αἰσχρότητι οἱ Λέσβιοι. καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ. δώσει δέ τις γυναῖκας ἑπτὰ Λεσβίδας. καλὸν τὸ δῶρον, ἑπτὰ ἔχειν λαικαστρίας.

Bisetus. Διάφορα κόμματα ἐκ διαφόρων Εὐριπίδου δραμάτων ὑπ' Αἰσχύλου τιθέμενα. καὶ οὐδὲν μέλος κατὰ τὸ ἑξῆς ὑπ' αὐτοῦ λεγόμενον. ἀλλὰ ταῦτα πάντα ἀπρόσπλοκα, καὶ ἀσυνάρτητα. διὰ δὲ τούτων ἁπάντων ὁ Εὐριπίδης ὑπὸ τοῦ Αἰσχύλου διαβάλλεται, καὶ καταγελᾶται.

Αἰ. Ἀλκυόνες αἳ παρ' ἀενάοις θαλάσσης
Κύμασι στωμύλλετε,
Τέγγουσαι νοτερῆς πτερῶν,
Ῥανίσι χρόα δροσιζόμεναι,
Αἵ θ' ὑπωρόφιοι κατὰ γωνίας
Εἱ ειειει εἱλίσσετε δακτύλοις φάλαγγες,

*Æs. HAlcyones, ore quae strepitis sonoro, in*
*Fluctibus marinis,*
*Tingentes leue guttulis*
*Corpus, rore madens liquido.*
*Vósque sub tecto habitantes in angulis,*
*Quae e e e e e euoluitis digitis, araneae,*

Σχόλια. Ἀλκυόνες.] χαρακτηρίζουσι τὰ Εὐριπίδου μέλη, ὡς ἐκλελυμένα. ἀλκυόνες δὲ ἐπάνω τοῦ τῆς θαλάσσης ὕδατος καθήμεναι, τὰ αὐτῶν ᾠὰ ἐν τῷ βυθῷ κείμενα θερμαίνουσι. καθ' ὃν δὲ καιρὸν τοῦτο ποιοῦσιν ἀλκυονίδες αὗται αἱ ἡμέραι καλοῦνται. καὶ ἔστιν ἐν αὐταῖς μεγίστη ἡσυχία ἀνέμων τε καὶ κυμάτων. οἱ δέ φασιν ἐν τῷ ἄκρῳ τῆς θαλάσσης ἐπὶ τῆς ψάμμου τοῦτο ποιοῦσι. Κύμασι στωμύλλετε.] διὰ τοῦ στωμύλλετε, πάλιν εἰς αὐτὸν παί-